ἐστὶν ὁ χρησμὸς ἐξενεχθεὶς ὑπὸ τῆς Πυθίας. ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις. ἐν Λέσβῳ δὲ Γονναπαίου Ἀπόλλωνος ὁ δοθεὶς Πέλοπι αἰτοῦντος αὐτὸν ἀνάθημα τοῦ θεοῦ τὴν ἄρνα τὴν χρυσῆν ἕτερα παρέχοντα κειμήλια. ἔστι δὲ οὕτως. Ὃ βούλομαι δός μοι· δίδου δ᾽ ὃ μὴ θέλω. φέρει δὲ τὸν χρησμὸν τοῦτον Αντικλείδης ἐν τοῖς νόστοις. καὶ ἑτέρους πλείστους ἄν τις ἔχοι λέγειν τοιούτῳ ἐξενεχθέντας μέτρῳ.

Ψύλλαν ὁπόσους ἅλλοιτο.] ψύλλαν μὲν ἀττικῶς, ἣν ἡμεῖς ψύλλον καλοῦμεν. τὸ δὲ λεγόμενον τοιοῦτο· τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσὶν, ὁπόσους τούτους πηδήσειε. δῆλον δὲ, ὅτι ταῦτα φησὶ διασύραι βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα, ὡς ἰσχνὰ, καὶ λόγου μηδενὸς ἐχόμενα. διὸ καὶ τὰ ἑξῆς, γελοίου χάριν αὐτῷ λέλεκται.

Δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρὺν,
Ἐπὶ τὴν κεφαλὴν τοῦ Σωκράτους ἀφήλλατο,
Στ. Πῶς δῆτα τοῦτ᾽ ἐμέτρησε; Μα. Δεξιώτατα.
Κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν,
Ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε.
Κᾆτα ψυγείσῃ, περιέφυσαν Περσικαί.
Ταύτας ὑπολύσας, ἀνεμέτρει τὸ χωρίον.
Στ. Ὦ Ζεῦ βασιλεῦ τῆς λεπτότητος τῶν φρενῶν.
Μα. Τί δῆτ᾽ ἂν, ἕτερον εἰ πύθοιο Σωκράτους Φρόντισμα; Στ. Ποῖον; ἀντιβολῶ κάτειπέ μοι.
Μα. Ἀνήρετ᾽ αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος,
Ὁπότερα τὴν γνώμην ἔχοι, τὰς ἐμπίδας
Κατὰ τὸ στόμ᾽ ᾄδειν, ἢ κατὰ τοὐρροπύγιον.
Στ. Τί δῆτ᾽ ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος;
Μα. Ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος
Στενόν. διὰ λεπτοῦ δ᾽ ὄντος αὐτοῦ τὴν πνοὴν
Βίᾳ βαδίζειν εὐθὺ τοὐρροπυγίου.
Ἔπειτα κοῖλον πρὸς στενῷ προσκείμενον,
Τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.
Στ. Σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων.
Ὢ τρισμακάριος τοῦ διεντερεύματος.
Ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην,
Ὅστις δίοιδε τοὔντερον τῆς ἐμπίδος.
Μα. Πρῴην δέ γε γνώμην μεγάλην ἀφῃρέθη
Ὑπ᾽ ἀσκαλαβώτου. Στ. Τίνα τρόπον; κάτειπέ μοι.

*Nam forte Chærephontis admomorderat*
B *Supercilium, atque inde insiluerat in caput*
*Socratis.* ST. *Et quomodo isthuc mensus est se sex?*
DI. *Dexterrime: nam ceram liquefecit, & ei*
*Duos immersit capti pulicis pedes:*
*Refrigerato calceamenta annata sunt:*
*Quibus detractis spacium rei dimensus est.*
ST. *Proh Iuppiter, quæ hæc animorum est subtilitas?*
C DI. *Quid vero si alterum Socratis hic audias*
*Commentum?* ST. *Quodnam illud? dic obsecro mihi.*
DI. *Interrogabat ipsum Chærepho iste Sphettius,*
*Vtrum statueret culices ore sonum edere,*
*An podice.* ST. *Et quid ille respondit homini,*
*De culice?* DI. *Aiebat intestinum esse culicis*
D *Angustum, quod cum sit prætenue, spiritum*
*Quodam impetu recta perrumpere podicem.*
*Inde adiacere intestino quiddam cauum,*
*Et vi flatus actum sonare podicem.* (ba est?
ST. *Ergo, quantum intelligo, culicum podex, tu-*
*Beatum, qui illud intestinum repperit.*
*Næ facile iudicium effugiat aliquis reus:*
*Quisquis culicis intestinum dignouerit.*
E DI. *Pridem etiam alio commento spoliatus fuit*
*A fele.* ST. *quo pacto? dic mihi.* DI. *cum inquireret*

Σχόλια. Τοῦ Χαιρεφῶντος τὴν ὀφρὺν.] ἰστέον ὅτι αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους. καὶ ὅτι γελοίου χάριν παρείληφε τοῦτο αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνημόνευσε μέρους τοῦ σώματος, ἢ τοῦ ἐν ἑκατέρῳ γελοίου. ὁ μὲν γὰρ μεγάλας εἶχε τὰς ὀφρῦς ὁ Χαιρεφῶν. ὁ δὲ φαλακρὸς ἦν ὁ Σωκράτης. Τὼ πόδε.] δυϊκὸν τὼ πόδε, ἐπὶ τῆς ψύλλης κακῶς. λέγεται γὰρ ἓξ ἔχειν πόδας. Ψυγείσῃ δὲ ἀντὶ τοῦ θανούσῃ. Περσικαί.] εἶδος ὑποδήματος αἱ Περσικαί, ὡς καὶ Ἡρόδοτος. ἐπεὶ καὶ δένδρου ὄνομά ἐστι Περσικαί, διὸ καὶ περιέφυσαν εἶπεν ὡς ἐπὶ δένδρου. ἔστι μὲν γὰρ καὶ δένδρον. ἔστι δὲ καὶ ὑποδημάτων εἶδος γυναικείων. διὸ ἐπιφέρει, ὑπολύσας. διὰ δὲ τὸ δένδρον, παίζων περιέφυσαν εἶπεν. Ταύτας ὑπολύσας] ἀδύνατον. οὔτε γὰρ ὑποδεῖσθαι δύναται φορέσαι ψύλλα, οὔτε ὑπολύσασθαι. οὔτε μετρῆσαι τῷ προσπλασθέντι κηρῷ τοῖς ποσὶ τὸ διάστημα τοῦ ὑποδήματος. ἀλλ᾽ ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν· οὔτε γὰρ τὰ ὑποδήματα ἐκ κηροῦ φύναι φύσιν ἔχει, οὔτε τῶν τῆς ψύλλης ποδῶν ταῦτα δυνατὸν ἦν ἐξελεῖν καὶ διαμετρῆσαι τὴν τοῖς ποσὶν αὐτῆς προσπλασθέντι κηρῷ τὸ διάστημα τοῦ ὑποδήματος. Σφήττιος, ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς. Ὁπότερα τὴν γνώμην.] ἀντὶ τοῦ πῶς διανοεῖται καὶ διαλογίζεται περὶ τῶν ἐμπίδων. τὸ δὲ ὁπότερα ἀντὶ τοῦ ὁποτέρως. ἐμπίδας δὲ, οὓς ἡμεῖς κώνωπας καλοῦμεν. οἱ δὲ, εἶδος κώνωπος παραποτάμιον ζώνην (vel, ζωὴν) ἔχοντος. Κατὰ τὸ στόμ᾽ ᾄδειν.] ἀντὶ τοῦ διὰ τοῦ στόματος φθέγγεσθαι καὶ βοᾶν, ἢ διὰ τοῦ ὀρροπυγίου. τὰ γὰρ τοιαῦτα τῶν ζώων, τροφὴν μὲν λαμβάνει στόματι. φθέγγεται δ᾽ αὐτῷ οὐκέτι. καὶ γάρ ἐστιν ἐκ τῶν τεττίγων τοῦτο καὶ τῶν ἐγκελάδων ἰδεῖν. ἃ καὶ οὕτω προσηγορεύθησαν, ἐπεὶ ἐν αὐτοῖς τὸν κέλαδον ἔχουσιν. οὕτω γὰρ καὶ τὰ τοιαῦτα ζῶα πάντα διὰ τοῦ στήθους τὴν φωνὴν προΐεται· εἰ γὰρ τοῦτο λάβοιο, καὶ οὔτε φθέγξαιτο τὸ ἐγκέλαδον, οὔτε ὁ μουσικὸς καὶ καλὸς τέττιξ ἔτι προΐοι φωνήν. τῆς αὐτῆς γὰρ καὶ ὁ τέττιξ ἐστὶ φύσεως καὶ τὰ τοιαῦτα ζῶα. καλεῖται μὲν παρά τισι βομβύκια. καλεῖται δὲ καὶ ἐντόμια, ὅτι κατὰ τὴν ῥάχιν ἐντέτμηται. ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν σφηκῶν καὶ κανθάρων καὶ ἐγκελάδων, καὶ τῶν τεττίγων μάλιστα. διὸ καὶ φθέγγεσθαι ἀξιοῦσιν αὐτά. Σάλπιγξ ὁ πρωκτός.] τοιαύτη γάρ. κατὰ μὲν ἀνώτατον καὶ πρὸς τὸ ἄκρον κοίλη ἡ σάλπιγξ. τὰ κάτω δὲ, στενή. διὸ καὶ ὀξὺ ᾄδει. Τοῦ διεντερεύματος.] τοῦ ἐρωτήματος τοῦ διὰ τοῦ ἐντέρου. τοῦ ἐπισκέμματος ἢ τῆς λύσεως τοῦ μαθήματος τοῦ περὶ τοῦ ἐντέρου καὶ ἐμπίδος. ἐπειδὴ δὲ περὶ τῶν τῆς ἐμπίδος ἐντέρων λέγει, ἔπαιξε παρὰ τὸν ὑπὸ τοῦ Σωκράτους λόγον τὸν περὶ τῆς ἐμπίδος ἐντέρου. Γνώμην μεγάλην ἀφῃρέθη] ὅτι ἐστερήθη, ἐμποδισθεὶς ὑπὸ ἀσκαλαβώτου ὁ Σωκράτης. λέγεται δὲ καὶ ἀσκαλαβώτης καὶ γαλεώτης.

BISETVS. Ἀσκαλαβώτου] γαλεώτου οὕτως ὁ Σουίδας.